# 6 ΣΕΠΤΕΜΒΡΙΟΥ

Ἡ ἀνάμνησις τοῦ γεγονότος θαύματος ἐν Κολοσσαῖς, ἤτοι ἐν Χώναις, παρὰ τοῦ Ἀρχαγγέλου Μιχαήλ.

* * * * *

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,

Συναπτὴ μεγάλη, μεθ' ἣν ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος Δι

Θ ε ος Κυ ρι ος και ε πε φα νεν η μιν ευ λο
γη με νος ο ερ χο ο με νος εν ο νο μα τι Κυ ρι ι
ου

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θ ε ος Κυ ρι ος και ε πε φα νεν η μιν ευ λο
γη με νος ο ερ χο με νος εν ο νο μα τι Κυ ρι ι
ου

## Ἀπολυτίκιον.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Ἦχος Δι

Των ȣ ρα νι ι ω ων στρα τι ων Αρ χι στρα
τη γε δυ σω πȣ ȣ με εν σε η μεις οι α να ξι
οι ι να ταις σαις δε η σε ε σι τει χι σης η




Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.




Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

* * *

## ΚΑΘΙΣΜΑΤΑ

### Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

### Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Οἱ τῷ ναῷ σου τῷ σεπτῷ παρεδρεύοντες, καὶ ἐν αὐτῷ σε εὐσεβῶς μεγαλύνοντες, ὡς τῶν ἀΰλων τάξεων πρωτεύοντα, πίστει δυσωποῦμέν σε, Ἀρχιστράτηγε θεῖε· πάσης ἐξελοῦ ἡμᾶς, τῆς ἐχθρῶν τυραννίδος, καὶ τῆς μελλούσης ῥῦσαι ἀπειλῆς, καὶ τῆς γεέννης ταῖς σαῖς παρακλήσεσι.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῶν ἀσωμάτων λειτουργῶν Ἀρχιστράτηγε, ὁ κατ᾽ ἐνώπιον Θεοῦ παριστάμενος, καὶ ταῖς ἐκεῖθεν λάμψεσι λαμπόμενος, φαίδρυνον ἁγίασον, τοὺς πιστῶς σε ὑμνοῦντας, πάσης ἀπολύτρωσαι, τοῦ ἐχθροῦ τυραννίδος, καὶ εἰρηναίαν αἴτησαι ζωήν, τοῖς βασιλεῦσι καὶ πᾶσι τοῖς πέρασι.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοί, καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ᾽ ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὸν ν΄ ψαλμόν, χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.
Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς

ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

### Οἱ Κανόνες, τῆς Θεοτόκου καὶ τοῦ Ἀρχιστρατήγου, μεθ᾿ οὕς, εἰ βούλει, ψάλλε καὶ Καταβασίας.

### Ὁ Κανὼν τῆς Θεοτόκου.

(ἐὰν ψαλῇ εἰς Ϛ΄, τότε ὁ εἱρμὸς δευτεροῦται).

### Ὠδὴ α΄. Ὁ εἱρμός. Ἦχος πλ. δ΄.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν, μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

### Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· ὢ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας ἐμπιπλῶσαί μου τὴν ψυχήν· εἰρήνευσον Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου Πανάμωμε.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Σωτῆρα τεκοῦσά σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας

τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Ὁ Κανὼν τοῦ Ἀρχιστρατήγου, οὗ ἡ ἀκροστιχίς·
Τὸν πρῶτον ὑμνῶ τῶν ἀσωμάτων νόων.
Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Στίχ. Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ταῖς θείαις λαμπρότησι, καταστραπτόμενος πάντοτε, τὸν νοῦν μου καταύγασον τοῦ ἀνυμνῆσαί σε, Ἀρχιστράτηγε, τῶν ἄνω στρατευμάτων, ἁπάντων κραταίωμα, τῶν προστρεχόντων σοι.

Στίχ. Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ Νοῦς ὁ προάναρχος, ὑπερκοσμίου ταξίαρχον, ἀνέδειξε τάξεως, σὲ παναοίδιμε, Ἀρχιστράτηγε, καὶ φῶς τῶν ἐν τῷ σκότει, καὶ θεῖον ἀγλάϊσμα, τῆς Ἐκκλησίας αὐτοῦ.

Στίχ. Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νόων προηγούμενος, τῶν οὐρανίων ἐν πνεύματι, τοῖς κάτω πανάριστε, Μιχαὴλ δέδοσαι, περιτείχισμα, καὶ κράτος καὶ ῥομφαία, ἐχθροὺς κατασφάττουσα, καὶ ἀφανίζουσα.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παρθένε πανάμωμε, ἡ τῶν Ἀγγέλων εὐπρέπεια, ἀνθρώπων βοήθεια, σύ μοι βοήθησον, θαλαττεύοντι, καὶ ζάλῃ ἁμαρτίας, ἀεὶ περιπίπτοντι, καὶ κινδυνεύοντι.

Ἕτερος Κανών. Ἦχος ὁ αὐτός.
Ποίημα καὶ οὗτος Ἰωσήφ.
Τῷ ὁδηγήσαντι πάλαι.

Στίχ. Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν ἀρχηγὸν τῶν Ἀγγέλων, τὸν φωταυγῆ ἥλιον, καταυγάζοντα τὴν γῆν, ταῖς τῶν θαυμάτων λαμπρότησι, καὶ τὴν ἀχλὺν ἀπελαύνοντα, πάντοτε τῶν πειρασμῶν, χαρμονικῶς ὑμνολογήσωμεν.

Στίχ. Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ τοὺς Ἀγγέλους ποιήσας, φλόγα πυρὸς Κύριε, ἀποπληροῦντας δυνατῶς, τὸ σὸν πανάγιον θέλημα, μέσον αὐτῶν διαλάμποντα, ἔδειξας ὥσπερ ἀστέρα, Μιχαὴλ τὸν ἀρχιστράτηγον.

Στίχ. Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑμνολογήσωμεν πάντες, τὸν ἀγαθὸν Κύριον, τὸν δωρησάμενον ἡμῖν, τεῖχος ἐχθροῖς ἀπροσμάχητον, καὶ ἀπερίτρεπτον ἔρεισμα πάντοτε, κινδύνων σῴζοντα ἡμᾶς, τὸν ἱερὸν Μιχαήλ.

Στίχ. Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπιστασίαις σου θείαις, ἀποτελεῖς πάντοτε, τὸν θεῖον οἶκόν σου

σαφῶς, ἁμαρτωλῶν ἱλαστήριον, ἀδικουμένων προσφύγιον, νόσων τε φυγαδευτήριον πασῶν, Θεοῦ πρωτάγγελε.

Δόξα.

Θραῦσον υἱοὺς τοὺς τῆς Ἄγαρ διηνεκῶς ἔνδοξε, ἐγειρομένους καθ᾽ ἡμῶν, καὶ τῆς αὐτῶν ἡμᾶς λύτρωσαι, καὶ προσδοκίας καὶ θλίψεως, ὅπως σε ὡς ἀγαθὸν ἡμῶν ἀεί, προστάτην σέβωμεν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀκατανόητον θαῦμα, πῶς τοῖς βροτοῖς ἥνωται, ὁ ἀκατάληπτος Θεός, ἐκ σοῦ σαρκὶ καθ᾽ ὑπόστασιν, ἀποτεχθεὶς Ἀπειρόγαμε, σῴζων με τὸν ὑπαχθέντα τῇ φθορᾷ, κλοπῇ τοῦ ὄφεως.

Τῆς Θεοτόκου. Ὠδὴ γ΄.

Ἦχος πλ. δ΄. Ὁ εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε Φιλάνθρωπε.

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ Θεογεννῆτορ Παρθένε· σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη Πανύμνητε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου· σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη Πανάχραντε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρὸν Πανάμωμε, τὸν ἀδαπάνητον.

Ὠδὴ γ΄. Οὐκ ἐν σοφίᾳ.

Στίχ. Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥώμῃ τῇ θείᾳ, Στρατηγὲ τῶν Ἀγγέλων πανεύφημε, περιέρχῃ πᾶσαν γῆν, δεινῶν ἡμᾶς ἐξαιρούμενος, τοὺς προσκαλουμένους σου, τὸ θεῖον ὄνομα.

Στίχ. Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς θεῖος κῆρυξ, ὡς προστάτης πιστῶν ἀκαταίσχυντος, πλανωμένων ὁδηγὸς καὶ παιδευτὴς ἐχρημάτισας, Θεοῦ Ἀρχιστράτηγε, θεοειδέστατε.

Στίχ. Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τοῦ θείου φέγγους, καθαρώτερον ἔσοπτρον πέφηνας, τὰς ἐμφάσεις τοῦ σεπτοῦ, λαμπρῶς δεχόμενος Πνεύματος, Μιχαὴλ πρωτάγγελε, ἀξιοθαύμαστε.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ τοὺς ἀΰλους, συστησάμενος Νόας βουλήματι, τῇ ἐνύλῳ σου γαστρί, οἰκεῖ βουλήσει Πανάμωμε, σαρκὶ καθορώμενος, ὁ ἀθεώρητος.

Ἄλλος. Ὁ στερεῶν βροντήν.

Στίχ. Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Παρεστηκὼς τῷ θρόνῳ τῆς Τριάδος, μεθέξει τε θεούμενος, καὶ φωτιζόμενος ἀστραπαῖς, ταῖς ἐκεῖθεν πεμπομέναις, τοὺς ὑμνητάς σου φώτισον, Θεοῦ Ἀρχιστράτηγε.

Στίχ. Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ Ἰησοῦς ὡς εἶδέ σε ῥομφαίαν, ἐν τῇ χειρὶ κατέχοντα, τῇ φοβερᾷ σου καταπλαγείς, θεωρίᾳ ἀνεβόα· Τί νῦν προστάσσεις Κύριε, ποιεῖν τῷ οἰκέτῃ σου;

Στίχ. Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τοῦ Ἰουδαίων ἔθνους ἄρχων πάλαι, ὑπὸ Θεοῦ καθέστηκας· χριστιανῶν δὲ νῦν βοηθός, Ἀρχιστράτηγε καὶ ῥύστης, τῶν ἀναγκῶν ῥυόμενος, αὐτοὺς καὶ τῶν θλίψεων.

Στίχ. Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μεγαλωσύνην δῶμεν τῷ Κυρίῳ, τῷ δόντι ἡμῖν πρόμαχον, καὶ ἐν ταῖς θλίψεσι βοηθόν, Ἀρχιστράτηγον τὸν μέγαν, δι᾽ οὗ βαρβάρων πάντοτε, ἀθέων λυτρούμεθα.

Δόξα.

Ἀπαγωγῇ βιαίᾳ, τοὺς εἰς ἔθνη ἀλλόφυλα τυγχάνοντας, καὶ δουλωθέντας ἐλεεινῶς, ἐπανάγαγε ἐν τάχει, ἐκδυσωπῶν τὸν Ὕψιστον, Θεὸν Ἀρχιστράτηγε.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ Δανιὴλ σε ὄρος γράφει μέγα, ὁ Ἀββακοὺμ δὲ Ἄχραντε, ὄρος κατάσκιον ἀρεταῖς, καὶ Δαυῒδ τετυρωμένον, ἐξ οὗ ὁ Θεὸς σεσάρκωται, τὸν κόσμον λυτρούμενος.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

## ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

### Κάθισμα.

### Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Οὐρανίων ταγμάτων δημαγωγός, λειτουργός τε τῆς δόξης τῆς θεϊκῆς, ἀξίως γενόμενος, τῇ προστάξει τοῦ Κτίστου σου,

χριστιανῶν ὑπάρχεις, μεσίτης σωτήριος, τῇ ἀΰλῳ σου δόξῃ, δεινῶν ἐξαιρούμενος· ὅθεν κατὰ χρέος, εὐφημοῦμέν σε πάντες, τὴν θείαν σου σήμερον ἀνυμνοῦντες πανήγυριν, Μιχαὴλ Ἀρχιστράτηγε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὰ θεῖά σου θαύματα.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρί, συλλαβοῦσα ἀφλέκτως Μῆτερ Θεοῦ, τῷ κόσμῳ ἐκύησας, τὸν τὸν κόσμον κατέχοντα, καὶ ἐν ἀγκάλαις φέρεις, τὸν φέροντα ἅπαντα, τὸν τροφοδότην πάντων, καὶ Κτίστην τῆς κτίσεως, ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ πλάστου μου. Δέσποινα Παρθένε ἁγνή, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι· καὶ γὰρ δύνασαι ὅσα θέλεις Πανύμνητε.

Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

## ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

### Κοντάκιον. Ἦχος β΄. Αὐτόμελον.

Ἀρχιστράτηγε Θεοῦ, λειτουργὲ θείας δόξης, τῶν ἀνθρώπων ὁδηγέ, καὶ ἀρχηγὲ Ἀσωμάτων, τὸ συμφέρον ἡμῖν αἴτησαι καὶ τὸ μέγα ἔλεος, * ὡς τῶν Ἀσωμάτων ἀρχιστράτηγος.

### Ὁ Οἶκος.

Ἔφης φιλάνθρωπε ἐν Γραφαῖς σου, πλήθη χαίρειν Ἀγγέλων ἐν οὐρανῷ, ἐπ' ἀνθρώπῳ ἑνὶ μετανοοῦντι, ἀθάνατε· ὅθεν ἡμεῖς οἱ ἐν ἀνομίαις, ἀναμάρτητε μόνε καρδιογνῶστα, σὲ δυσωπεῖν καθ' ἑκάστην τολμῶμεν ὡς εὔσπλαγχνον, οἰκτεῖραι, καὶ καταπέμψαι ἀναξίοις κατάνυξιν Δέσποτα, παρέχων ἡμῖν συγχώρησιν· ὑπὲρ πάντων ἡμῶν γὰρ πρεσβεύει σοι, * ὁ τῶν Ἀσωμάτων ἀρχιστράτηγος.

### Συναξάριον.

Τῇ Ϛ΄ τοῦ αὐτοῦ μηνός, ἀνάμνησις τοῦ γενομένου παραδόξου θαύματος ἐν Κολοσσαῖς τῆς Φρυγίας παρὰ τοῦ ἀρχιστρατήγου Μιχαήλ. (311)

Στίχ. Ὤφθης, Μιχαήλ, Νῶε σῷ ναῷ νέος,
Χώνῃ ποταμῶν τὸν κατακλυσμὸν λύων.
Ῥοῦν Μιχαὴλ ποταμῶν χώνευσε, Νόων ἀγός, ἕκτῃ.

Φθόνῳ τηκόμενοι ἐπὶ τοῖς παραδόξως γενομένοις ἐν τῷ ναῷ τοῦ ἀρχιστρατήγου Μιχαὴλ ἄνδρες ἑλληνίζοντες, τὸν παραῤῥέοντα ἐγγύθεν ποταμὸν ἐβουλεύσαντο κατὰ τοῦ ναοῦ στρέψαι, ὥστε καὶ τὸν λαὸν κατακλῦσαι καὶ τὸν προσμένοντα ἐν αὐτῷ ἄνδρα τίμιον, τὸν Ἄρχιππον, ἀπολέσαι. Φανεὶς δὲ καὶ μόνον ὁ θεῖος Ἀρχιστράτηγος καὶ θαῤῥεῖν

ἐγκελευσάμενος τῷ Ἀρχίππῳ, πλήσσει ῥάβδῳ τὴν πέτραν, καὶ πάροδον ἐν αὐτῇ ποιήσας τοῦ ποταμοῦ, ἐξ ἐκείνου μέχρι καὶ τοῦ νῦν παροδεύων ὁρᾶται χωνευόμενος. Ἰστέον δὲ ὅτι ἔκτοτε ἡ Πόλις αὕτη τῆς Φρυγίας μετωνομάσθη εἰς «Χῶναι», καθ᾽ ὅτι ἐν αὐτῇ «ἐχωνεύθη» πρὸς γῆν ὁ ποτάμιος ῥοῦς.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Σαραπάβονος τοῦ βουλευτοῦ, ἐν Ἀλεξανδρείᾳ ξίφει τελειωθέντος. (†250)

Στίχ. Βέλτιον οὐδὲν ἄλλο βουλεύσῃ τάχα,
Τοῦ μαρτυρῆσαι Σαραπάβων ἐκ ξίφους.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας μάρτυρος Καλοδότης ἐν Αἰγύπτῳ. (†256)

Στίχ. Καλοδότη, τμηθεῖσα τὴν κάραν ξίφει,
Καλῶν δοτῆρι σοὶ παρίσταται, Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐδοξίου, Ζήνωνος, Ῥωμύλου (†107-115) καὶ Μακαρίου τῶν ἐν Μελιτινῇ. (†312)

Στίχ. Τμήθησαν Εὐδόξιος, Ῥωμύλος, Ζήνων
Καὶ Μακάριος· μακαριστοί, τοῦ τέλους!

Οὗτος ὁ ἅγιος Ῥωμύλος ἐπὶ Τραϊανοῦ τὴν κεφαλὴν ἀφῃρέθη, χιλίους ἐπὶ μυρίοις χριστιανοὺς χώραις τισὶν ἐξορίᾳ παραπεμψαμένου καὶ πικρῷ θανάτῳ ὑποβαλόντος. Ἐπὶ δὲ Διοκλητιανοῦ Εὐδόξιος, τοὺς ἀναζητοῦντας αὐτὸν στρατιώτας ξεναγήσας, ὁμολογεῖ αὐτὸς εἶναι Εὐδόξιος. Τῶν δὲ φεύγειν συμβουλευσάντων, οὗτος γυναικός, τέκνων, οἰκείων, οἴκου, καὶ τῶν λοιπῶν ἐπιλαθόμενος, παρίσταται τῷ ἡγεμόνι Μελιτινῆς. Καὶ πρῶτον μὲν τὴν ζώνην, ἥτις ἦν παράσημον τῆς τοῦ κόμητος ἀρχῆς ἐξ ἑαυτοῦ ἀφελών, τῷ προσώπῳ τοῦ ἄρχοντος ἀπεῤῥίπτει· καὶ σὺν αὐτῷ ὁ περιεστὼς ὄχλος τοῦ καταλόγου παντός, τέσσαρες ἐπὶ τοῖς ἑκατὸν καὶ χίλιοι ὄντες, τὸ αὐτὸ διεπράξαντο. Εἶτα, ταθεὶς ἐκ τεσσάρων ὁ θεῖος Εὐδόξιος, τύπτεται τὰς πλευρὰς καὶ ξέεται, καὶ τότε τὸν διὰ ξίφους θάνατον δεχθῆναι κελεύεται. Καὶ ἐπεὶ κατέλαβε τὸν τόπον τῆς τελειώσεως, τὴν σύζυγον μεταστραφεὶς ἐκεῖθεν ὁρᾷ· καὶ ὧν ἐνετείλατο αὐτῇ πρότερον ἀναμνήσας, καὶ πέρας ἀγαθὸν πᾶσιν ἐπιθεῖναι ἐπισκήψας, τελευταίαν ἐντολὴν δέδωκεν αὐτῇ μὴ ἐπιδακρύσαι τῇ αὐτοῦ ἐκδημίᾳ, ἀλλ᾽ ἐν τῷ χωρίῳ ἔμνημον τάφον αὐτῷ σχεδιάσαι καὶ ἐπιχῶσαι ἐν τούτῳ τὸ σῶμα αὐτοῦ, καὶ τιμῆσαι μᾶλλον τὴν ἡμέραν ἐκείνην λαμπροφορίᾳ καὶ τῇ ἄλλῃ φαιδρότητι.

Εὐθὺς οὖν χεῖρας ὁ Μάρτυς καὶ ὄμματα πρὸς οὐρανὸν ἀνασχών, τὴν ἱερὰν κεφαλὴν ἀποτέμνεται μετὰ τοῦ φιλτάτου αὐτοῦ Ζήνωνος, ᾧ, κλαίοντι διὰ τὸν τοῦ Μάρτυρος χωρισμόν, προεῖπεν ὁ Μάρτυς μὴ χωρισθῆναι αὐτοῦ, ἀλλ᾽ ὁμοῦ τελειωθῆναι· ὃ καὶ γέγονεν, ἀποτμηθέντος ξίφει καὶ αὐτοῦ τὴν κεφαλὴν μετὰ τῶν λοιπῶν σὺν τῷ ἁγίῳ Εὐδοξίῳ ἁγίων Μαρτύρων.

Ἑπτὰ δὲ ἡμερῶν παρελθουσῶν, ὄναρ ἐπιστὰς τῇ συζύγῳ ὁ Μάρτυς Εὐδόξιος, ἐπισκήπτει αὐτῇ εἰπεῖν τῷ Μακαρίῳ ἀπιέναι πρὸς τὸ πραιτώριον· ἐν ᾧ δὴ ἀπελθών, καὶ μὴ πεισθεὶς θῦσαι τοῖς εἰδώλοις, τὴν μακαρίαν καὶ αὐτὸς ἀποτέμνεται κεφαλήν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων ἑκατὸν τεσσάρων καὶ χιλίων στρατιωτῶν μαρτύρων, ξίφει τελειωθέντων. (†312)

Στίχ. Δεκὰς δεκαπλῆ καὶ χιλιὰς Μαρτύρων,
Καὶ τετρὰς ἁπλῆ, συντελευτῶσι ξίφει.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι μάρτυρες, Φαῦστος ὁ πρεσβύτερος,

Μακάριος, Ἀνδρέας, καὶ οἱ μοναχοὶ Βίβος, Κυριακός, Διονύσιος, Ἀνδρόνικος· καὶ αἱ ἅγιαι Ἀνδροπελαγία καὶ Θέκλα· καὶ Θεόκτιστος ὁ Ναύκληρος, καὶ ἕτερος Κυριακὸς ὁ Δημότης, ξίφει τελειοῦνται.

Στίχ. Τὴν γῆν ὁ Φαῦστος ἐκλιπὼν διὰ ξίφους,
Πρὸς φαῦσιν ἤρθη τῆς ἄνω κατοικίας.

Ξίφει θανόντες Μακάριος, Ἀνδρέας,
Ὥδευσαν ἄμφω τὴν μακαρίαν τρίβον.
Τὸν ἀρετῆς στέφανον ἀρνεῖται Βίβος,

Εἰ μὴ στέφανον καὶ τὸν ἐκ ξίφους λάβῃ.
Διονυσίῳ συμφρονήσαντας δύο,

Διονυσίῳ συγκατέκτεινε ξίφος.
Ὡς ἀνδρική τις ἦν Ἀνδροπελαγία,

Πρὸς τὴν κεφαλῆς ἐκτομήν, ὡς ἡ Θέκλα.
Θεόκτιστος Ναύκληρος ἐκτμηθεὶς κάραν,

Ψυχῆς ἰθύνει τὸ σκάφος πρὸς τὸν πόλον.
Ὁ Κυριακὸς Δημότης, ἀλλ᾽ ἐκ ξίφους,

Συνθιασώτης τοῦ χοροῦ τῶν Μαρτύρων.

Οὗτοι οἱ Ἅγιοι, ἐν ταῖς ἡμέραις Δεκίου τοῦ βασιλέως διεβλήθησαν ὡς χριστιανοὶ Οὐαλερίῳ, τῷ ἄρχοντι Ἀλεξανδρείας. Παραστάντων οὖν τῶν Ἁγίων, καταπλαγεὶς Οὐαλέριος τὸ στεῤῥὸν αὐτῶν καὶ ἀκατάπληκτον, τὴν διὰ ξίφους τιμωρίαν κατ᾽ αὐτῶν ἀπεφήνατο. Καὶ οὕτω τελειωθέντων, τὰ τούτων σώματα ὑπὸ τῶν ἐν Ἀλεξανδρείᾳ φιλοχρίστων ἀνακομισθέντα, ἐναπετέθησαν τῇ πόλει, εἰς δόξαν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Τῇ αὐτῇ ἡμέρᾳ, συνέδραμε καὶ τὰ ἐγκαίνια τῆς Ὑπεραγίας Θεοτόκου εἰς τὸ Δεύτερον ἐν τῷ οἴκῳ τῆς ἁγίας Εἰρήνης.

Στίχ. Ἐν οἴκῳ εἰς τὸ Δεύτερον, Εἰρήνης τῆς ἁγίας,
τιμήσωμεν ἐγκαίνια Δεσποίνης Θεοτόκου.

Σκηνὴν ἁγιάζουσι νῦν ἐγκαινίοις,
Τῆς τὴν βροτείαν φύσιν ἐγκαινισάσης.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Αὐγουστίνου, Σαγκτιανοῦ καὶ Βεάτης (Beata), τῶν ἐξ Ἱσπανίας, μαρτυρησάντων καὶ ἐν Σενόνῃ (Sens) τῆς Γαλλίας, ἔνθα καὶ τιμῶνται. (†273)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου καὶ ὁμολογητοῦ Πετρωνίου, ἐπισκόπου Βερόνης ἐν Ἰταλίᾳ. (~†450)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Ἀράτορος (Arator), δ΄ ἐπισκόπου Βεροδούνου (Verodunum, Verdun) ἐν Γαλλίᾳ. (~†460)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Μακκαλίνου (Maccallin), ἐπισκόπου Λοὺσκ (Lusk) ἐν Ἰρλανδίᾳ. (~†497)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Δονατιανοῦ (Donatian), Πρεσιδίου (Praesidius), Μανσουέτου (Mansuetus), Γερμανοῦ (Germanus), Φουσκούλου (Fusculus) καὶ Λαέτου (Laetus), ἐξορισθέντων τῆς Ἀφρικῆς ὑπὸ Οὐνερίχου, ἀρειανοῦ

ἀρχηγοῦ τῶν Βανδάλων. (ε΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Ἐλευθερίου, ἡγουμένου τοῦ ἀββαείου Ἁγίου Μάρκου ἐν Σπολέτῳ τῆς Ἰταλίας. (~†590)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Φαύστου, ἡγουμένου τῆς μονῆς Ἁγίας Λουκίας ἐν Συρακούσαις τῆς Σικελίας. (~†607)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Καγνοάλδου (Cagnoaldus), ἀδελφοῦ τῶν ἁγίων Φάρονος καὶ Φάρας, ϛ΄ ἐπισκόπου Ἀλαουδούνου (Alaudanum, Laon) ἐν Γαλλίᾳ. (~†635)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας παρθένου Βέγας (Beya, Bega), α΄ ἡγουμένης Κοπελάνδης (Copeland) ἐν Κουμβρίᾳ (Cumbria) τῆς Ἀγγλίας. (ζ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Φήλικος (Felix) πρεσβυτέρου καὶ Ἀουγεβέρτου (Augebert) διακόνου, ἀποσταλέντων εἰς Καμπανίαν, καὶ ἐκεῖ κτανθέντων ὑπὸ τῶν εἰδωλολατρῶν. (ζ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Μάγνου (Magnus, Magnoaldus), φωτιστοῦ Ἀλλγοβίας (Allgovia, Allgäu) ἐν Βαυαρίᾳ. (~†750-772)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας νεομάρτυρος Λυγερῆς, τῆς καλλιπαρθένου Χιοπολίτιδος, ὑπὲρ ἁγνείας καὶ πίστεως Χριστοῦ μαρτυρησάσης. (†1822)

Στίχ. Λυγίσασ᾽ οὐδόλως προσβολῇ ἀκολάστῳ,
Νῦν κατοικεῖς Λυγερὴ τὸν πόλον.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου νεομάρτυρος Μαξίμου Σάντοβιτις, τοῦ πρεσβυτέρου ἐν Ζντένιᾳ τῶν Καρπαθίων. (†1914)

Στίχ. Ζωὴ ἐμὴ ἡ φίλη Ὀρθοδοξία,
Ἐβόα Μάξιμος τοῖς φονευταῖς θνήσκων.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *

## ΚΑΤΑΒΑΣΙΑΙ

### Τῆς Ὑψώσεως τοῦ τιμίου Σταυροῦ

Ψάλλονται τῇ 1η Αὐγούστου, ἀπὸ 6ης μέχρι 13ης Αὐγούστου καὶ ἀπὸ τῆς 24ης Αὐγούστου μέχρι τῆς 21ης Σεπτεμβρίου.

Ἦχος Γα

ᾠδὴ α΄



αρ μα σι κρο τη σας η νω σεν επ ευ ρυς δι α γρα

ψας τω α ητ τη τον οπ λον δι ο Χρι στω α σω μεν

τω Θε ω η μων ο τι δε δο ξα σται

ᾠδὴ γ΄ Ἦχος Νη

Ραβ δος εις τυ υ πον τυ μυ στη ρι ου πα ρα

λαμ βα νε ε ται τω βλα στω γαρ προ κρι νει ει τον

ι ε ρε ε α τη στει ρευ ου ση δε πρω ην εκ

κλη σι α νυν ε ξην θη η σε ξυ λον Σταυ ρου εις κρα

τος και στε ρε ω ω μα

ᾠδὴ δ΄ Ἦχος Γα

Ει σα κη η κο α Κυ ρι ε της οι κο νο μι ι

ας συ το μυ στη ρι ον κα τε νο η σα τα ερ γα

συ και ε δο ξα σα συ την Θε ο τη τα

ᾠδὴ ε΄ Ἦχος Νη

Ω τρι σμα κα ρι ι σον ξυ υ υ λον εν ω ε

τα α α θη Χρι ςος ο βα σι λε ευς και Κυ ρι ος


δι ου πε πτω κεν ο ξυ λω α πα τη η σας το
εν σοι δε λε α σθεις Θε ω τω προ σπα γε εν τι σαρ
κι τω πα ρε χο ον τι την ει ρη νην ταις ψυ χαις η
η μων

ᾠδὴ ϛ΄


Ν ο τι ου θη ρο ος εν σπλα α αγ χνοις πα
λα μας Ι ω νας σταυ ρο ει δως δι εκ πε τα α
σας το σω τη ρι ον πα α θος προ δι ε τυ υ
πȣ σα φως ο ο θεν τρι η με ρος εκ δυς την υ
περ κο σμι ον Α να ϛα σιν υ πε ζω γρα φη η σεν
τȣ σαρ κι προ σπα γεν τος Χρι στȣ ȣ ȣ τȣ Θε ου και
τρι η με ρω ε γε ε ερ σει τον κο ο σμον φω τι
σα αν τος

ᾠδὴ ζ΄


Ε εκ νο ον προ στα γμα τυ ραν νȣ δυ σε
βȣς λα ȣς ε κλο νη σε πνε ον α πει λης και δυσ φη




ᾠδὴ η´

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.




* * *

Ὁ διάκονος· Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

# Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

1 Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρι μου.




2 Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης Αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.




3 Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς καὶ ἅγιον τὸ ὄνομα Αὐτοῦ, καὶ τὸ ἔλεος Αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις Αὐτόν.



**4** Ἐποίησε κράτος ἐν βραχίονι Αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.




**5** Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.




**6** Ἀντελάβετο Ἰσραὴλ παιδὸς Αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι Αὐτοῦ ἕως αἰῶνος.



ᾠδὴ θ΄







Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *

## ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

### Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Ἀθροίσθητε καὶ ἴδετε, ἡ ἀνθρωπότης ἅπασα· θεάσασθε ξένον θαῦμα, τὸ τελεσθὲν ἐν ταῖς Χώναις· Μιχαὴλ ὁ ἀσώματος, ῥάβδῳ τὴν πέτραν ἔῤῥηξε, καὶ ποταμοὺς ἠκόντισε, κατερχομένους ἀτάκτως, ἐπὶ τὸ ἅγιον ὕδωρ.

Θεοτοκίον. Ὅμοιον.

Εἰκόνος ἧς μετέλαβον, θεουργικῶς τῆς κρείττονος, ἐξώσθην, οἴμοι ὁ τάλας! δι᾽ ἀκρασίας τῆς πάλαι· σὺ δὲ Χριστὲ ὁ εὔσπλαγχνος, ἀῤῥήτως κοινωνήσας μοι, τοῦ χείρονος μετείληφας, καινοποιήσας Σωτήρ με παρθενικῶν ἐξ αἱμάτων.

Εἰς τοὺς Αἴνους.

Ἦχος Πα







Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ´
καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.

Στίχ. α´. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἀγγελικῶς οἱ ἐν κόσμῳ πανηγυρίζοντες, τῷ ἐπὶ θρόνου δόξης, Θεῷ ἐποχουμένῳ, βοήσωμεν τὸν ὕμνον· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ οὐράνιος· ὁ συναΐδιος Λόγος ἅγιος εἶ· καὶ τὸ Πνεῦμα τὸ

Πανάγιον.

Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ἀγγελικῶς οἱ ἐν κόσμῳ ...

Στίχ. γ΄. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Τῶν οὐρανίων πρωτεύων ἐν παῤῥησίᾳ πολλῇ, καὶ παρεστὼς τῷ θρόνῳ, τῷ ἀστέκτῳ ἐν δόξῃ, αὐτόπτα τῶν ἀῤῥήτων, σῶσον ἡμᾶς, Μιχαὴλ ἀρχιστράτηγε, τοὺς ἐν ἀνάγκαις κινδύνων καὶ πειρασμῶν, ταῖς πρεσβείαις σου δεόμεθα.

Στίχ. δ΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Τῶν ἀσωμάτων Ἀγγέλων πρῶτος ὑπάρχων σαφῶς, καὶ λειτουργὸς τῆς θείας, φωταυγίας ἐκείνης, αὐτόπτης τε καὶ μύστης, σῶσον ἡμᾶς, Μιχαὴλ ἀρχιστράτηγε, τοὺς ἐτησίως τιμῶντάς σε εὐσεβῶς, καὶ ὑμνοῦντας τὴν Τριάδα πιστῶς.

Δόξα.

Ἦχος Πα



ων Ε ε ω σφο ο ο ο ρος δι ο αι αι του με εν

σε τα πυρ φο ρα αυ του ου βε ε ε ε ε λη τα

καθ η μων κι νου ου με να α Α α πο ο ο ο ο

σβε ε ε ε σον τη με σι ι τει α α σου

λυ τρου με νος η η μα α ας εκ τω ων σκαν

δα α α λω ων α α αυ του α ξι υ υ υ

υ υ υ υ μνη η α ξι υ υ μνη η τε

ε ε ε ε ε ιε ε ε ε ε Μι χα ηλ

αρ χα αγ γε λε

## Καὶ νῦν. Θεοτοκίον.

Και νυν και α ει και εις τους αι ω νας των

αι ω ω νων α μην

Μα κα ρι ζο μεν σε Θε ο το ο κε Παρ θε ε νε

και δο ξα ζο μεν σε οι πι στοι οι κα τα χρε ε ος

την πο ο ο λιν την α σει στον το τει χο ος το

αρ ρη η κτον την αρ ρα γη η προ στα σι ι ι ι αν




* * *

Καὶ εὐθὺς ψάλλεται εἰς τὸν αὐτὸν ἦχον

## Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δοξολογία Μανουὴλ Πρωτοψάλτου.

Ἦχος Πα




ας του κο ο σμȣ
Π ρο σδε ξαι την δε η σιν η μων ο κα θη με
νος εκ δε ξι ω ων του Πα τρος και ε λε η σον η
μας
Ο τι συ ει μο νος Α γι ος Συ ει ει μο νος
Κυ ρι ος Ι η σους Χρι στος εις δο ξαν Θε ου Πα τρος α
μην
Κ αθ ε κα στην η με ραν ευ λο γη σω Σε και
αι νε ε σω το ο νο μα α Σου εις τον αι ω ω να
και εις τον αι ω να του αι ω ω νος
Κ α τα ξι ι ω σον Κυ ρι ε εν τη η με ρα
τα αυ τη α να μα ρτη τους φυ λα χθη ναι η μας
Ε υ λο γη τος ει Κυ ρι ε ο Θε ος των πα τε
ε ρων η μων και αι νε το ον και δε δο ξα σμε ε
νον το ο νο μα α Σου εις τȣς αι ω νας α μην
Γ ε νοι το Κυ ρι ε το ε λε ος Σου εφ η μας κα


θα περ ηλ πι ι ι σα μεν ε πι Σε
Ε υ λο γη το ος ει Κυ ρι ε δι δα ξον με τα δι
και ω μα τα Σε (τρίς)
Κ υ ρι ε κα τα φυ γη ε γε νη η θης η μιν εν
γε νε α και γε νε α ε γω ει πα Κυ ρι ε ε λε
η σο ον με ι α σαι την ψυ χην μου ου ο τι η μαρ
τον Σοι
Κ υ ρι ε προς Σε κα τε φυ γον δι δα ξο ον με
του ποι ειν το θε λη μα α Σου ο τι Συ ει ο Θε ο ος
μου
Ο τι πα ρα Σοι πη γη ζω ης εν τω φω τι Σου
ο ψο με θα φως
Π α ρα τει νον το ε λε ος Σου ου τοις γι νω σκου
σι Σε
Α γι ος ο Θε ος Α γι ος Ι σχυ ρος Α γι
ος α θα να τος ε λε η σον η μας (τρίς)

Δ ο ξα Πα τρι ι και Υι ω και α γι ω Πνευ μα τι

Κ αι νυ υν και α ει και εις τους αι ω νας των

αι ω νων α μην

Α γι ος α θα να τος ε λε η σον η μας

## Ἀσματικόν.

Α γι ι ι ος ο Θε ε ο ος Α α α α

γι ι ος Ι ι σχυ υ υ ρος Α γι ος Α α α

θα να α τος ε ε λε η η σο ο ον η η η η μα

α α ας

## Ἀπολυτίκιον.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Ἦχος Δι

Τ ων ȣ ρα νι ι ω ων στρα τι ων Αρ χι στρα

τη γε δυ σω πȣ ȣ με εν σε η μεις οι α να ξι

οι ι να ταις σαις δε η σε ε σι τει χι σης η

μας σκε πη των πτε ρυ υ γω ων της α υ λȣ σȣ

δο ξης φρȣ ρων η μας προσ πι πτο ο ντα ας εκ τε νως




* * * * *

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ὁ διάκονος τὰ εἰρηνικά

Τὰ ἐξαπλᾶ.

Ἦχος πλ. Νη




Τὰ Ἁγιορείτικα (καταγραφὴ Μελετίου Συκιώτου).

Ἦχος πλ. Νη






Ἀθανασίου Καραμάνη.

Ἦχος Νη




καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

## Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς ϞΑ΄ (91).

Ἦχος Δι

Στίχ. α΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. (ϞΑ΄ 2)




Στίχ. β΄. Τοῦ ἀναγγέλλειν τῷ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (ϞΑ΄ 3)




Στίχ. γ΄. Ὅτι εὔφρανάς με, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. (ϞΑ΄ 5)




Στίχ. δ΄. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. (ϞΑ΄ 16)




Δόξα. Καὶ νῦν.




Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι σὸν τὸ κράτος...

Ἀντίφωνον Β΄. Ἦχος πλ. α΄. Ψαλμὸς ϞΒ΄ (92).

Στίχ. α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. (ϞΒ΄ 1)




Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (ϞΒ΄ 1)

Σ ω σον η μα ας Υἱ ε ε Θε ου ο εν

Α γι ι οι οις θαυ μα στος ψαλ λον τας σοι αλ λη λȣ

ȣ ι α

Στίχ. γ΄. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. (Ϟβ΄ 4)

Σ ω σον η μα ας Υἱ ε ε Θε ου ο εν

Α γι ι οι οις θαυ μα στος ψαλ λον τας σοι αλ λη λȣ

ȣ ι α

Στίχ. δ΄. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. (Ϟβ΄ 5)

Σ ω σον η μα ας Υἱ ε ε Θε ου ο εν

Α γι ι οι οις θαυ μα στος ψαλ λον τας σοι αλ λη λȣ

ȣ ι α

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Κ αι νυν και α ει και εις τȣς αι ω νας των αι ω

νων α μην

Ο Μο νο γε νης Υἱ ος και Λο γος τȣ Θε ου α

θα να τος υ πα αρ χων και κα τα δε ξα με νος




Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...

## Ἀντίφωνον Γ΄.

### Ἦχος δ΄. Ὕμνος τριῶν παίδων.

Στίχ. α΄. Εὐλογημένος εἶ ὁ ἐπιβλέπων ἀβύσσους, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Στίχ. β΄. Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Στίχ. γ΄. Εὐλογεῖτε, ἄγγελοι Κυρίου, πᾶσαι αἱ δυνάμεις Κυρίου τὸν Κύριον.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Ἦχος Δι






* * *

## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

### Εἰσοδικόν. Ἦχος β΄.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Ἦχος Δι



## Ἀπολυτίκιον.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Ἦχος Δι




Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

## Κοντάκιον τοῦ Γενεσίου τῆς ὑπερ. Θεοτόκου.

(Ψάλλεται ἀπὸ κδ´ Αὐγούστου ἕως ιβ´ Σεπτεμβρίου πλὴν τῆς λα´ Αὐγούστου καὶ τῆς α´ καὶ ζ´ Σεπτεμβρίου).

Αὐτόμελον.

Ἦχος Δι



ο ος σϗ ε νο χης των πται σμα των λυ τρω θεις

εν τω κρα ζειν σοι η στει ρα τι κτει την Θε ο το κον και

τρο φον της ζω ης η μω ω ων

* * *

## Τρισάγιον. Σύντομον.

Ἦχος Δι

Α α γι ι ος ο Θε ε ος Α α γι ι

ος Ι σχυ υ ρος Α γι ος Α θα α να α τος

ε ε λε η σον η η μα ας (τρίς)

Δο ξα Πα τρι και Υι ω και Α γι ω Πνε ευ μα

τι

Και νυν και α ει και εις τϗς αι ω νας των αι

ω νων α α μην

Α γι ος Α θα α να α τος ε ε λε η

σον η η μα ας

* * *

## ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

Ἦχος Δι

Α α γι ι ο ο ος ο ο ο Θε ο ο ο ος


α α γι ι ο ο ος ι ι ι σχυ ρο ο ο ος α
α γι ι ος α θα α να τος ε λε ε ε η σο ο
ον η μα ας
Τό τρίτον.
Α γι ος ο Θε ο ο ο ο ο ο ο
ο ο ο ο ος α γι ος ι σχυ ρο ο ο ο ος
α α γι ι ος α θα α να τος ε λε ε ε η
σο ο ον η μα ας
Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνε ευ μα
τι
Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην
Α α γι ι ος α θα α να τος ε λε ε ε
η σο ο ον η μα ας
Δ υ να α α μις Α γι ος ο Θε ο ο ο
ο ο ο ο ο ο ο ο ο ο ο ος α γι ος
ι σχυ ρο ο ο ο ος α α α α α α




Δύναμις τοῦ βήματος.

Ἦχος Δι



Δύναμις Νηλέως Καμαράδου ( † 1922)

Ἦχος Δι






* * *

## ΑΠΟΣΤΟΛΟΣ

Ἀπόστολον τῶν Ταξιαρχῶν (Ἑβρ. β΄ 2-10).

Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον ἦχος δ΄.
Ὁ διάκονος· Πρόσχωμεν.

---

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.
Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

---

Ἢ ὁ ψάλτης.

Ἦχος Βου

Ο ποι ω ων τȣς Α γγε ε λȣς αυ τȣ ȣ πνευ μα

α τα και τȣς λει τȣρ γȣς αυ τȣ πυ ρο ος φλο γα

Στίχ. α΄. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου,

ε με γα λυν θης σφο δρα

Ο ποι ω ων τȣς Α γγε ε λȣς αυ τȣ ȣ πνευ μα

α τα και τȣς λει τȣρ γȣς αυ τȣ πυ ρο ος φλο γα

Στίχ. β΄. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ ὁ περιπατῶν ε

πι πτε ρυ υ γων α νε μων

Ο ποι ω ων τȣς Α γγε ε λȣς αυ τȣ ȣ πνευ μα

α τα και τȣς λει τȣρ γȣς αυ τȣ πυ ρο ος φλο ο γα α α

α α

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης·

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ὁ διάκονος· Πρόσχωμεν.

Ἀδελφοί, εἰ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; Ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε

καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι καὶ Πνεύματος Ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν. Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν, διεμαρτύρατο δέ πού τις λέγων· «Τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ»· ἐν γὰρ τῷ «ὑποτάξαι» αὐτῷ τὰ «πάντα» οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ «πάντα ὑποτεταγμένα»· τὸν δὲ «βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον» βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου «δόξῃ καὶ τιμῇ ἐστεφανωμένον», ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. Ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι.

Ἀλληλούϊα (γ΄). Ἦχος β΄. (Ψαλμὸς ρμη΄).

Ἦχος Δι




Στίχ. α΄. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν







Στίχ. β΄. Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε

αὐτόν,







## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (ι´ 16-21).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με. Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς· Ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς καὶ εἶπεν· Ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναί, ὁ πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

Ἦχος Δι




Χερουβικόν, Ἰωάννου Ἀρβανίτη, ἦχος Δι




ε ε ε ε ε ℩ιε ε ε ε ε ε ε ε χε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ρȣ ȣ ȣ ȣ Χε ρȣ ȣ βι ι ι ιμ μυ υ υ υ υ
υ υ στι ι ι κω ω ω ω ω ω ω ω ω ω
ως ει κο ο νι ι ι ι ι ι ι ι ι ζο ο ο
ο ο ει κο ο νι ι ι ι ι ι ζο ο ον
τε ε ε ε ε ε ε ε ες και αι αι αι
τη η η η ζω ο ο ο ποι οι οι οι οι οι οι
ζω ο ο ποι οι ω ω Τρι ι α α α α ʿια α α
α α α α α α α α α α α α Τρι α α
α α δι ι το ον τρι ι σα α α α
γι ι ι ι ο ο ο ον υ υ υ μνο ο ο ο ον
προ σα α α δο ο ο υ μνον προ ο σα α α
δο ο ον τε ες πα α α α α α σα α α α
αν την βι ι ω τι ι κη η η η η η η ην α
πο ο θω ω ω ω ω ω με ε ε ε ε θα α με ε




Τὰ παρόντα ἀπό τὴν "Θεία Λειτουργία" τοῦ Παναγιώτου Παππᾶ.

Ἦχος Δι






Τὰ Λειτουργικά,
ὡς διασώθηκαν ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησία,
κατὰ παράδοσιν ἀρχαιοτάτην. Καταγραφὴ Κ. Ψάχου.

Ἦχος Δι




Τὸ Σύμβολον τῆς πίστεως.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ

Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

* * *






Γρηγορίου Πρωτοψάλτου. Ἦχος Δι






## Πέτρου Λαμπαδαρίου.

Ἦχος Πα




τα α α α ϊα α α α α α α και αι τους λει
του ουρ γου ου ου ου ου ου ου ου ου ου ου ου ου
ου ου χου ου ου ου ου ου ου ου ου ου ου ου
ου ου χου ου ου ϊου ου ου ου ου ους α
α α α α λει του ου ουρ γου ου ου ου ους α αυ του
ου ου ου πυ ρο ο ο ο ο ο ο ο ο ο
χο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο
ο ο ο ο ο ο ο ο ο ο ο ο χο ο
ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο
ο ο ο ο ο ο ο ο ο ο ο ο ο χο ο
ο ο ο πυ ρο ο ος φλο ο ο ο ο ο ο ο
ο ο ο ο ο ο ο ο ο ο χο ο ο ο ο
ο ο ο ο ο ο ο ο ο ο πυ ρος φλο ο
ο ο ο ο ο ο ο ο ο ο ο γα α α α
α α α α Α ιιε ε ϊα ιιε ιιε ιιε ϊα ϊα
ιιε ε ιιε ϊα ϊα ιιε ϊα ιιε ιιε ιιε ϊα ϊα ιιε ε ιιε ϊα α


λα λε λε λα λα λε ε Αλ λη λου ου ου ου
ι ι ι ι ι ι ι ι α α α α α α α α α
Ἦχος Δι
Ει δο μεν το φω ως το α λη θι νον ε λα βο
μεν Πνευ μα ε που ρα νι ον ευ ρο μεν πι στιν α λη
θη α δι αι ρε τον Τρι α δα προ σκυ νου ου ου ουν
τες αυ τη γαρ η μας ε ε σω σε ε εν
Ἦχος Δι
Πλη ρω θη η τω το στο μα η μων αι νε σε
ως σου Κυ ρι ε ο πως α νυ μνη σω μεν την δο ο
ξαν σου ο τι η ξι ω σας η μας των α
γι ων σου με τασ χειν μυ στη ρι ι ι ι ων τη ρη σον
η μας εν τω σω α γι α σμω ω ο λην την η
με ε ραν με λε των τας την δι και ο συ υ νην σου
Α λλη λου ϊ α Α λλη λου ϊ α Α λλη
λου ϊ α α α

Ἦχος Δι


Ε ι η το ο νο μα Κυ ρι ȣ ευ λο γη με
νον α πο τȣ νυν και ε ως τȣ αι ω ω νος (δὶς)
Τ ο ο νο μα Κυ ρι ȣ ει η ευ λο γη
με ε ε ε ε νο ο ο ον α πο τȣ νυν και ε ως
τȣ αι ω ω νο ο ος